# ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΔΥΣΚΟΛΟΥ ΑΝΔΡΟΣ,

## Ὅστις γήμας λάλον γυναῖκα, ἑαυτὸν προσαγγέλλει.

Ἔδει μὲν, ὦ Βουλή, τεθνάναι με πρὶν ἢ γῆμαι, ἢ τοσαῦτα ἀκοῦσαι τῆς γυναικὸς λαλούσης, ὁπόσα ἀκήκοα. ἐπεὶ δὲ οὐ διέφυγον ἐκεῖνο, κακῷ δαίμονι χρησάμενος, εὐθὺς μετὰ τοὺς γάμους ἐλθεῖν εἰς ὑμᾶς, ἐφ᾽ οἷσπερ ἥκω νῦν, τοῦτο δὲ ὑπὸ τῆς ἐμαυτοῦ βραδυτῆτος ἠδικημένος, δέομαι ὑμῶν, ἐπειδήπερ ὀψέ ποτε πρὸς τὸ συμφέρον εἶδον, κυρῶσαί μοι τὸ βούλημα τήμερον· εἰς τοσοῦτον γὰρ ἀφῖγμαι κακῶν, ὥστε μοι τὸ μηκέτι εἶναι, τοῦ μετὰ τῆς γυναικὸς μετριώτερον. Δότε δέ μοι πρὸ τοῦ κωνείου μικρὰν ἑτέραν, ὦ Βουλή, χάριν. μή με εἰς μακρολογίαν ἐμβάλητε, τύπον ἀνεχόμενοι τῶν κομψῶν ῥητόρων, οἷς ὁ βίος λέγειν τε καὶ ἀντιλέγειν. δέδοικα γὰρ μὴ διατριβῆς ἐν τῷ λόγῳ γιγνομένης, τὸ πρᾶγμα ἡ γυνὴ πυθομένη, τὴν γλῶτταν ἡμῖν ἐκείνην ἐπιστήσῃ, καὶ καταλύσῃ καὶ ἐμὲ καὶ ὑμᾶς. Ὅπως οὖν μὴ τοῦτο γένηται, γίνεσθε ταχεῖς πρὸς τὴν χάριν. εἰ γὰρ δὴ παρούσης ἐκείνης ἀποθνήσκοιμι καὶ λαλούσης, ἀφαιρήσει τὴν τελευτὴν ἡ φλυαρία τῆς γυναικός. Εἰ μὲν οὖν ὁ θεὶς τῇ πόλει τοὺς νόμους μὴ περίεργός τις ἦν καὶ περιττὸς ἐν τῷ γράφειν, οὐκ ἂν εἶχον πράγματα νῦν, πείθειν πειρώμενος, ὅτι μοι τελευτᾶν ἀναγκαῖον. ἀλλ᾽ οὑτωσὶ λάθρα λαβὼν ἀπὸ τῆς κλίνης σχοινίον, ἐλθὼν εἰς ἐρημίαν, ἐπί τι δένδρον ἀπηγχόμην καθ᾽ ἡσυχίαν, οὔθ᾽ ὁρῶν ὄχλον, οὔτε πολλῶν ἀκούων. Ἐπειδὴ δὲ ὁ πάντα τρόπον ἐκεῖνος ἡμᾶς καταδουλωσάμενος, οὐδὲ τῆς ἀπαλλαγῆς τοῦ βίου κύριον ἀφῆκεν ἕκαστον, ἀλλὰ καὶ τοῦτο ὑπὸ ψηφίσματος ἡγα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΕΝΤΡΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. Δ. ΙΩΑΝΝΙΝΑ 2006

ἔγωγε, καταρῶμαι μὲν αὐτῷ, πείθομαι δὲ, καὶ τοὺς ἐν βουλευτηρίῳ φέρω θορύβους, ὅτι τὸ μηδὲν ἔτι τῶν ὀχληρῶν ἐνεγκεῖν. Οἱ μὲν οὖν εἰδότες τὴν τῆς γυναικὸς φύσιν, οἶδ' ὅτι μοι συγγνώμην ἔχουσι, μηκέτι ζῆν δυναμένῳ. τοὺς δ' ἄλλους οἶμαι δεῖν μαθεῖν, οἵᾳ συνοικῶ συμφορᾷ. Καί μοι προσέχετε πρὸς Διὸς ὑμεῖς. τουτωνὶ δὲ τῶν περιεστηκότων καὶ γελώντων καὶ καλούντων με δύσκολον, βραχύ τι φροντίζω· τί γὰρ ἂν καὶ ζητήσαι τις μείζω παρ' αὐτῶν δίκην, ἧς νῦν ὑπέχουσιν, οὕτω ζῶντες διεφθαρμένοι, καὶ διατεθρυμμένοι, καὶ διαρρέοντες, καὶ παίζοντες ἀεὶ, καὶ σπουδάζοντες οὐδέ ποτε, καὶ καγχάζοντες, καὶ φλυαροῦντες ἀπερισκέπτως ὅ, τι τύχοι. Ἐμοὶ δὲ ὁ πατὴρ, ὦ Βουλὴ, παρῄνει τὸν νοῦν συνάγειν ἀεὶ καὶ συνέχειν, μὴ συγχωρεῖν διαχεῖσθαι, διορᾷν τῶν ἐν τῷ βίῳ τά τε ἀναγκαῖα καὶ τὰ μή· καὶ τῶν μὲν ἔχεσθαι, τῶν δὲ ἀπέχεσθαι· τιμᾷν τὴν ἡσυχίαν, φεύγειν τὰς ταραχάς. ἃ ποιῶν, ὦ Βουλὴ, διατελῶ, τῶν ἐκκλησιῶν οὐ μάλα κοινωνῶν, οὐ διὰ τὸ τῶν κοινῇ συμφερόντων ἀμελεῖν, ἀλλὰ διὰ τὰς τῶν οὐ δυναμένων σιγῆσαι βοὰς ῥητόρων, εἰς ἀγορὰν οὐ σφόδρα ἐμβάλλων διὰ τὰ πολλὰ ταῦτα τῶν δικῶν ὀνόματα· φάσις, ἔνδειξις, ἀπαγωγὴ, διαδικασία, γραφὴ, παραγραφὴ, ἃ καὶ οἷς οὐδὲν ἔστι πρᾶγμα, φιλοῦσιν ὀνομάζειν. ὁ δεῖνα, τοῦ δεῖνος, τὸν δεῖνα ἐγράψατο. ἐμοὶ δὲ τί τούτου μήτε διώκοντι, μήτε φεύγοντι; Καὶ νῦν κἀκεῖνο δεινὸν ἐξελάσαι τῆς ἀγορᾶς, τὸ τῆς προσρήσεως, οὐκ οἶδ' ὁπόθεν εἰς τὸν βίον ἐπελθὸν, τὸν δεῖνα χαίρειν. οὐ γὰρ ἔγωγε μὰ τοὺς Θεοὺς ὁρῶ τοῦ ῥήματος τὸ κέρδος· οὐ γὰρ ὥς γε λύπης ἀξίως ἔχει τὰ πράγματα, βελτίων παρὰ τὸ χαίρειν ἅπασι γίγνεται. Καὶ μὴν τῶν ἐργαστηρίων ὅσα μὲν ἄκμονα καὶ σφύραν ἔχει, φυγῇ φεύγω, τὰ ἀργυροκοπεῖα, τὰ χαλκεῖα, πολλὰ ἕτερα. τὰς δὲ διὰ σιγῆς πληρουμένας ἀσπάζομαι τῶν τεχνῶν. καίτοι καὶ ζωγράφους εὗρον ἤδη μετ' ᾠδῆς γράφοντας. οὕτως ἡδύ τι τοῖς πολλοῖς τὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΙΩΑΝΝΙΝΑ 2006

λαλεῖν, καὶ κατέχειν ἑαυτοὺς οὐ δύνανται. Ἕως μὲν οὖν μόνος ἔζων, ἀπέλαυον ἡσυχίας ἱκανῆς, τῶν οἰκετῶν πεπαιδευμένων μηδὲν ποιεῖν, οἷς ἀνιῶμαι. ἐπεὶ δὲ ἔδει με ζημιῶσθαι ποτὲ κακοῖς, πρόσεισί τις τῶν ἐπιτηδείων, καὶ κακίσας τὴν μοναυλίαν, καὶ τὴν συζυγίαν ἐπαινέσας, μὴ μόνος ἀτίμαζε τὸν γάμον, ἔφη, Θεὸν ὄντα, καὶ Θεῶν μέγιστον. καὶ διηγεῖτο περὶ κόρης τινὸς τῷ γένει διαφερούσης, ὥρᾳ λαμπρᾶς, πλοῦτον πολλὰ κεκτημένης, σωφρονεῖν ἐπισταμένης, τὰ περὶ ἱστὸν πεπαιδευμένης, καὶ τελευταῖον προσέθηκεν, ὡς ἀρκεῖ βουληθῆναι, καὶ ἐν χεροῖν ὁ γάμος. Τὰ μὲν ἄλλα, ἔφην, ἔα, τοσοῦτον δέ μοι φράσον· ποταπὴ τὴν γλῶτταν ἡ παρθένος; οἶσθα γὰρ, ὦ ἑταῖρε, τὸν ἐμὸν τρόπον, ὡς ὑπρέγχων ἄνθρωπος ἐμοὶ φορητὸν, οὔτε λύζων, οὔτε χρεμπτόμενος, οὔτε βηχὶ κατεχόμενος· ἀλλ' ἑλοίμην ἂν πληγὰς λαβεῖν πρότερον, ἢ ταῦτα ἀνασχέσθαι. λάλον δὲ, οὐδ' ἂν ὄναρ ἐνέγκοιμι. εἰ δὲ δεήσει με συζῆν τοιαύτῃ, πῶς οἴει; πῶς βιώσομαι; Θάρρει, ἔφη· οὐδὲν γὰρ αὐτῇ, ὡς τοῦτο μεμελέτηται. πρότερον ἂν ἐγκαλέσαις τοῖς λίθοις λαλεῖν, ἢ τῇ κόρῃ. ὥστε δέδοικα, ἔφη, μὴ τὸ πλεῖον ἢ δεῖ σιγᾶν, ἔγκλημα αὐτῇ γένηται. Ἐπείσθην, ὦ Βουλὴ, τί δ' οὐκ ἔμελλον, οὕτω προῖκα θαυμαστὴν ἀκούων τὴν σιωπήν; Ἀπ' ἐκείνης δ' ἄρα μοι τῆς ἡμέρας ηὐξενίζετο τὸ κώνειον. ἦν μὲν γὰρ οὐδ' ἐκεῖνα μέτρια, κρότος πολὺς, γέλως σφοδρὸς, ὄρχησις ἀσχήμων, ὑμέναιος νοῦν οὐκ ἔχων· ἅπαντα πανταχόθεν, ἡνίκα ἠγόμην ταύτην τὴν ἐριννυῦ, ἔρρει κατὰ τοὺς χειμάρρους, ὅσοι συμπίπτοντες εἰς ἀλλήλους, ἐξαίσιον παρέχονται δοῦπον· ὥστε μικροῦ μὲν ῥίψας τὸν στέφανον, ἐκ μέσων τῶν γάμων ἀπέδραν. λογιζόμενος δὲ τῷ πράγματι τὴν δυσχέρειαν, οὐ τῷ τρόπῳ τῆς γυναικὸς, διεκαρτέρησα μέχρι τοῦ θαλάμου, τοῖς θορύβοις βαλλόμενος. Τὸ δὲ ἦν ἄρα πρὸς τὸν μέλλοντα πόλεμον, εἰρήνη συχνή. πρὶν μὲν γὰρ μέ-

Ε.ΛΑ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μέσην φασὶν εἶναι νύκτα, φθέγγεταί τι μεμφομένη τὴν κλίνην, καί με τὸ ῥῆμα οὐ μικρῶς ἐτάραξεν. οὐδὲ γὰρ τὴν νύμφην ἐδόκει. ἔπειτα ἤρετό με, εἰ καθεύδοιμι. τοῦτο μειζόνως ἤλγησα. τρίτον ἤρετό τι, καὶ τέταρτον ἕτερον. ἐγὼ δ' ἀποκρινάμενος οὐδὲν, ἀλλ' ᾐσχυνόμενος πρὸς ἀπαισχυντοῦσαν, καὶ τὸ πρᾶγμα ἀνέστραπτο. ὁ μὲν ἀνὴρ, ἐσίγα, ἡ δὲ γυνὴ, ἐλάλει. Τηρήσας δὲ τὸ περὶ ὄρθρον, ἀναστὰς εἶμι περὶ τὴν νυμφεύτριαν. καὶ τί τοῦτο ἐστὶν, ἠρώτων· νύμφη ῥήματα ἀφίησιν ἐπὶ τῆς πρώτης νυκτὸς, καὶ τοσαῦτα; Ναί φησι· φίλτρα σημεῖον τοῦτ' ἐστι, καὶ ἅμα τῆς φωνῆς ἐπίδειξις. σὺ δ' ἀγριώτερος εἶ. λέγει δὲ οὕτως ἔχειν. Πείθομαι πάλιν, καὶ μεθ' ἡμέραν μᾶλλον ἐμάνθανον τὴν ἐμαυτοῦ συμφορὰν, καὶ τῆς ὑστέρας ἔτι μειζόνως. Κελεύσασα γὰρ ἥκειν αὐτῇ τὰς θεραπαίνας, μανθάνειν ἑκάστης ἠξίου τοὔνομα, καὶ μητέρων καὶ πατέρων, ἐμοῦ παρόντος, καὶ πόσα ἑκάστη παιδία γένοιτο, καὶ πόσα τεθνήκει, καὶ περὶ στρωμάτων ἐπυνθάνετο, καὶ χύτρας, καὶ ἀξίνης, καὶ τορύνης, καὶ ἀλεκτρυόνων, ὁπόσους τρέφομεν. Καὶ οὐδένα, ἔφην, οὐκ ἔστιν ἡμῖν ἀλεκτρυών, οὐδὲ γὰρ ἀνέχομαι κοκκύζοντος. εἰ δὲ μὴ σιγήσεις, οὐδέ σου. Ἡ δ' εὐθὺς προσέθηκεν ἔπαινον μακρὸν τοῦ ὄρνιθος, καὶ ὅθεν εἰς ὄρνιν μεταβάλλοι, καὶ ὡς ἦν στρατιώτης Ἄρεος ὀπαδὸς, καὶ ὡς μιμεῖται τοῦτο τῷ λόφῳ, τοῖς κέντροις, τῷ θυμῷ. Ἔτι λέγουσαν τὸν ἔπαινον ἀφεὶς, ἐντυγχάνω τῷ ῥάψαντι τὸν καλὸν γάμον· καὶ ὦ βέλτιστε, ἔφην, τὸν σαυτοῦ φίλον ἀπολώλεκας· καὶ διηγούμην ἕκαστα. Ὁ δὲ ἐπηγγείλατο παύσειν αὐτὴν ὡς τάχιστα, καὶ οὐκ ἔτι τοῦτο ἔσεσθαι. Πάλιν ἔρχομαι οἴκαδε. καὶ ἀπηντώμην ἐπὶ θύρας· ποῖ πεπόρευσαι; πόθεν ἀφῖξαι; τί καινὸν ἤγγελται; γεγόνασιν ἐπιδόσεις; ἐγράφη ψήφισμα; νόμον τις ἔθηκε; ἐπληρώθη δικαστήρια; γέγραπταί τις; ἑάλωκέ τις; Ἐμοὶ δὲ καὶ τὸ σιγῆσαι κακὸν, καὶ τὸ φθέγξασθαι μεῖζον. τὸ μὲν γὰρ διαβάλλει, καὶ σκώμμασιν ἐξύβρικε, καὶ διέξεισι μα-

χρὸν περὶ τοῦ δεῖν ἄνδρα ὄντα λέγειν· εἰ δέ ποτε φθεγξαίμην, αἴρω τὴν φλόγα. εἶπον ποτὲ ἐπαινήσειν τὸν στρατηγόν. ἡ δὲ ἁρπάσασα τὸν στρατηγὸν ἐκ μεσημβρίας εἰς ἑσπέραν, οὐδὲν ἐπαύσατο πυνθανομένη. πόσους δὲ ἄγων ἐξῆλθε; πόσους ἀπέβαλε; πόσων δὲ ἐκράτησε; τίνα δὲ ἐκράτησε τρόπον; ταξίαρχοι δὲ τίνες; φύλαρχοι δὲ τίνες; τὰ δὲ λάφυρα πόσα; πῶς ἔχει τὸ ναυτικόν; τίνες δὲ τριήραρχοι; τίνες κυβερνῆται; ναῦται δὲ πόσοι; Μεμψαμένου δὲ ἐμοῦ, καὶ φήσαντος ἔξω ταῦτα γυναικείας φροντίδος εἶναι· ἡ δὲ πάλιν ἔφη· σὺ δέ μοι λέγε, πῶς ἔχει τὰ τῶν ἀγρῶν; καὶ διεξέρχεται μέχρι τῶν θάμνων ἐρωτῶσα, καὶ σκυλλῶν καὶ σκωλήκων. καὶ πλείων αὐτῇ λόγος περὶ τῶν ἀλλοτρίων, ἢ τῶν ἡμετέρων. ἔστι δὲ οὐκ ἀσφαλὲς οὐδὲ τὸ χεῖρον, οὔτε τὸ βέλτιον ἀγγεῖλαι. φύεται γὰρ ἐξ ἑκατέρου λόγων σωρός. Ἐντεῦθεν ἐπ' ἄλλο μεταπηδᾷ. πῶς ἄρα πεπράκασι τὸ τήμερον αἱ οἰνοπώλιδες; λέγεταί τις βλάβη τοῖς ἐλαιοκαπήλοις συμβῆναι; βελτίων ἡ προβατευτικὴ τέχνη· δέος μὴ τὰ φρύγανα τοὺς ἀρτοποιοὺς ἐπιλίποι, τοὺς ἀργυρογνώμονας συκοφαντεῖσθαι λέγουσι. Τοιαῦτ' ἄττα θαλαττοκοπεῖ, καὶ φλυαρεῖ, καὶ ἐργάζεται μὲν ὡς ἥκιστα, λαλεῖ δὲ ὡς μάλιστα. εἰ δὲ καὶ προσάψηταί τινος ἔργου, μείζων ζημία τῆς ἀργίας αὐτῆς, ὁ περὶ τοῦ ἔργου λόγος· ἐκ βαλανείου δὲ εἴποτ' ἐπιστρέψει, φεῦ τῆς ἐπομβρίας τῶν ῥημάτων. πόσα μὲν λέγει περὶ τῆς δεξαμένης, πόσα δὲ περὶ γυναικῶν, τίς ἦλθε, τίς οὐκ ἦλθε, τίς ἄνευ παιδισκαρίων, τίς αὐτοῖς παιδισκαρίοις, τίνι σπίλος ἦν ἐν τῷ σώματι, τίς ἐρρυμμένη καλῶς ἀπῄει, τίνι ῥυτίδες ἐπὶ τῆς μορφῆς, τίνι τὸ πρόσωπον ἐψιμμυθίωτο, τίς εὗρε νίτρον, τίς ἀπώλεσε σανδάλιον, τίς ἀνέψεξε τῆς βαλανευτρίας τὴν ἐμβολήν, τὴν δοῦσαν ὀβολὸν τῷ βαλανεῖ, τὴν πλέον, τὴν ἔλαττον, τὴν οὐδέν, καὶ τὴν ἀπὸ τοῦ μὴ δοῦναι προστίθησι μάχην. εἶθ' ὥσπερ ἐκλαθομένη τῶν με-

με-

μεγίστων, αὐτὴν εἰς ἀνάμνησιν κονδυλίζει. Ἐγὼ δὲ φρίτ-
τω, ῥεῦμα ἕτερον ἐπερχόμενον ὁρῶν, καὶ κεντοῦμαι τοῖς φλη-
νάφοις, καὶ κατὰ τοὺς μαστιγουμένους, ἀναμένω τὴν τῆς αἰτίας
ἀνάπαυλαν, οἰμώζων καὶ καταρώμενος τὸν γάμον, καὶ τὸν πρώ-
τως πρός με μνησθέντι γυναικός. Ἡ δὲ ἂν αἴσθηται στένον-
τος, κινεῖ τὸν ἀνάγυρον. καὶ τί σοι, φησίν, ἔχει τὰ ἔνδον
κακῶς; καὶ κατάλογος ἐνταῦθα τῶν ἐπίπλων μέχρι τῆς λη-
κύθου, καὶ τῆς ἐπιχρύσεως. Πάντα ἔχειν, ἔφην, καλῶς,
μόνον σιώπα. τὸ δὲ σιώπα τοῦτο, σημεῖον λόγων ἑτέρων φέ-
ρει. διατί σοι σιωπῶ; μὴ γὰρ ἐξ ἀτίμων γέγονα; καὶ λέγει
τίτθας, καὶ τηθίδας, πάππους, καὶ ἐπιπάππους. εἶτ' εἰς
εἰκοστὸν καὶ τριακοστὸν ἀναβαίνει πρόγονον, τριηραρχίας προ-
στιθεῖσα, καὶ χορηγίας. ἡ δὲ μνήμη τῶν χορηγιῶν, ἐπὶ τοὺς
τραγῳδοὺς αὐτὴν παραπέμπει. κἀνταῦθα ὕει ῥαγδαίως,
τοὺς πρώτους διδόντας τραγῳδίαν, καὶ τοὺς ἐκδεξαμένους, καὶ ὅ-
τῳ τρόπῳ τὸ χρῆμα ηὐξήθη, καὶ τί συνεισήνεγκεν ἕκαστος.
Ἐγὼ δὲ δεινότερα πάσχω τῶν ἐν ταῖς τραγῳδίαις κολαζομέ-
νων. μὴ γὰρ οἶδεν ἡ γυνὴ στῆναί ποι τοῦ λαλεῖν; οἱ ποτα-
μοὶ πρότερον ἂν σταῖεν, ἢ τὸ ταύτης στόμα. πᾶσα γὰρ πρόφα-
σις, λόγων ἀφορμή. ἂν οἴκοι μένω, ἂν εἰς ἀγορὰν ἀπέλ-
θω, βραδυτὴς οἰκετῶν, τάχος, σπάνις, εὐπορία, μεμπτά,
ἄμεμπτα, ὄμβρος, αἰθρία. Ἐπεὶ δ' ἂν δὲ πάντα ἀνα-
λώσῃ τῇ ῥύμῃ τῆς γλώττης τὰ ἡμέτερα, πάλιν τὰ τῶν
γειτόνων. κἂν μηδὲν ἔτι φαίνηται, ὀνείρατα διηγεῖται,
πλάττουσα κἀκεῖνα νὴ τοὺς θεούς, ὡς ἐμοὶ δοκεῖ. οὐ γὰρ κα-
θεύδει, ἀλλὰ καὶ ἡ νὺξ εἰς νυκτηγορίαν αὐτῇ πολλάκις ἀ-
ναλίσκεται. κἂν βιασθεῖσα ποτὲ παραδέξηταί τι τοῖς ὀφ-
θαλμοῖς ὕπνου, πάντα αὐτῇ, πλὴν τῆς γλώττης κοιμί-
ζεται. ἡ δὲ τὸ αὐτῆς ἀπεργάζεται, καὶ γίνεταί μοι χαλε-
πωτέρα τῶν ἐλπίδων. Ὁρᾶτέ με, ὦ Βουλή, σιωπηκότα;
μεθ' ἡμέραν κόπτομαι, νύκτωρ διαφθείρομαι, μισῶ σι-

τία, μισῶ ποτὰ, τὸ πᾶσιν ἥδιστον φεύγω τὸ ζῆν, εὐάμιλον ἔχω τὴν λαλιὰν, ἐν τῇ ψυχῇ περιφέρω τὴν ἀηδίαν. ἀμύνατέ μοι πρὸς Διὸς, μεταδότε τοῦ φαρμάκου, ῥύσασθέ με φωνῆς ἀπαύστου. Καὶ τί, φησιν, ἀτυχεῖς τοσοῦτον, δι' ὃ καὶ τελευτᾶν ἀξιοῖς; ποίαν οὐσίαν ἀπολώλεκας; τί λελώβηταί σοι τοῦ σώματος; ποίᾳ συμφορᾶς ὑπερβολῇ ληφθεὶς, οὐκ ἀνέχῃ ζῆν; Σὺ δὲ τίς ὢν, ταῦτα πολυπραγμονεῖς; τί δέ σοι μέλει τῆς ἐμῆς τελευτῆς; πατὴρ ἐμὸς εἶ; ἀλλ' ἀδελφὸς, ἢ θεῖος; ἀνεψιὸς δέ; ἀλλὰ κοινωνὸς ἐμπορίας, ἢ γεωργίας; χεῖρον δὲ τοῖς σαυτοῦ πράξεις παρὰ τὴν ἐμὴν τελευτήν; ψηφίσματι δὲ κατέστης κωλυτὴς εἶναι τῶν ἐπιθυμούντων ἀποθανεῖν; ὢ τῆς περιεργίας· οὐδὲ ἀποθανεῖν ἔξεστιν αὐτοῦ πολλῶν λόγων ἐν τῇ πόλει, ἄνθρωπε; μὴ γὰρ σίτησιν αἰτήσων ἥκω; μὴ γὰρ στέφανον; ταῦτα δὴ τὰ τῶν ῥητόρων ὑμῶν τῶν καρπουμένων τὸν δῆμον. Βαρύνομαι τὸ ζῆν, ἀπελθεῖν ἐπιθυμῶ. τί μοι φθονεῖς; εἶτά με ἐρωτᾷς διὰ τί βούλομαι τελευτᾶν; διὰ σέ. Οὐ δικαίως ὑμῖν, ὦ Βουλὴ, δοκῶ χολᾶν, καὶ παραφρονεῖν; ὡς ἐπὶ πρᾳότερόν τι τῆς οἰκίας τὸ βουλευτήριον ἐπειχθεὶς, δι' εἴσηκω τὰς τῇδε χαλεπωτέρας τῶν οἴκοι. Οὐκ ἀπολώλεκα τὴν οὐσίαν, λέγεις· τοῦτο γὰρ οἴει μέγιστον κακόν; πόσοι δημεύσεις γενναίως ἐνηνόχασιν ἀντελπίσαντες πλοῦτόν γε ἕτερον, καὶ τὴν παροῦσαν ἔνδειαν ἐπανορθούμενοι, τῇ παρὰ τῶν ἐπιτηδείων ἐπιεικείᾳ; ὑγιὲς μὲν ἔστι μοι τὸ σῶμα, τὴν δέ γε ψυχὴν, ὦ φίλτατε, βέβλαμμαι, καὶ περὶ τὸ βέλτιον ἐζημίωμαι. μεστός εἰμι ῥημάτων ἀκαίρων· μήκεσιν ἀπείροις λόγων βέβλημαι. ἀδολεσχίαις βεβάπτισμαι· πολλὴν δέδεγμαι γλωσσαλγίαν· καθάπερ πλοῖον θάλαττα, ὑπερέχει με τῆς γυναικὸς ὁ κλύδων· οὐκ εἰμὶ φρενήρης· ἰλιγγιῶ. σκοτοδινιῶ· ταῦτ' οὐχ ἱκαναὶ προφάσεις πρὸς θάνατον; Εἰ παῖς ἦν μοι τεθνεὼς, ἦν ἂν ἐκ τῶν ταυτὰ πεπονθότων ἡ παρα-

μυθία, καὶ ταῖς ἐπιγινομέναις τέρψεσιν ὑπεχώρουν αὖ αἱ λῦπαι. τὸ κακὸν δὲ τοῦτο, πρῶτον μὲν μόνῳ μοι συμβέβηκε, καὶ οὐκ ἔστι πρὸς παράδειγμα βλέψαντι, λαβεῖν παραμύθιον τῆς ψυχῆς. ἔπειτα δὲ συνεχὲς πάσαις ἡδοναῖς ἐναντιούμενον, πάσαις εὐημερίαις μαχόμενον, καὶ τὰ ἀπὸ τῆς τύχης τερπνὰ συνταράττον καὶ μεταστρέφον. Εἰ οὖν δεῖ με λυπούμενον ζῆν, μὴ ζῆν μοι βέλτιον. εἰ δεῖ περιόντα στεύειν, μεταστῆναι συμφερώτερον. Ἄλλα ἄλλοις, ὦ Βουλή, δεινὰ νομίζεται. τῷ μὲν χρημάτων ἀποβολή, τῷ δὲ παίδων, τῷ δὲ φυγὴ πατρίδος, τῷ δὲ νόσος σώματος, ἐμοὶ δὲ μακρολογία. τί οὖν θαυμαστὸν, εἰ τοῦτο, ᾧ μάλιστα ἀλγυνόμαι, μὴ φέρων, ἀποθανεῖν ἐθέλω; Οὐκ ἔστιν ἡ γυνή μου μέθυσος· τοῦτο γὰρ ἧττον δεινόν. εἰ γὰρ ἐμέθυε, κἂν ἐκάθευδεν, εἰ δὲ ἐκάθευδε, ἴσως ἐσίγα. Πάντα μοι ταῦτα τοῦ παρόντος ἐλάττω, πάντα τῆς λαλιᾶς κουφότερα. ἤνεγκα αὖ γυναῖκα ὑπεραβελτέραν, αὐτόχρημα κακόν. ἤνεγκα σπαθῶσαν, ὀλεσίοικον. ταυτὶ δέ μοι τὸ διηνεκὲς τῶν λόγων νενίκηκέ με καὶ κατεπάλαισε, καὶ πρὸς τὸ ζῆν ἐπολέμωσεν. Εἰπὲ γὰρ, πότερον ἧττον εἰς συμφορὰν τὸ ἅπαξ ἀποθανεῖν, ἢ πολλάκις ἐγγὺς ἰέναι θανάτου, τὸ πρότερον φήσαις ἄν. ἐγὼ τοίνυν τὸ χαλεπώτερον, οὐκ ὀλιγάκις πέπονθα· πλειστάκις ὠρακίασα μὰ τὸν Ἀπόλλω, βαλλόμενος ὥσπερ χαλάζῃ τοῖς ὕθλοις. πολλάκις ἐλειποψύχησα μέσος γιγνόμενος τῶν λήρων ἐκείνων. οἴεσθε τὸ κακὸν ἀνεκτὸν εἶναι, καὶ τοιοῦτον, οἷον ἤδη τῷ συνέβη; οὐκ ἔστιν, οὐκ ἔστιν. ἀρράβιος αὐλητὴς ἡ γυνή, μᾶλλον δὲ καὶ παρελήλυθε τρυγόνος λαλιστέρα, κίττης, ἀηδόνος, κέρκωπος. τὸ Δωδωναῖον ὑπερβαίνει χαλκεῖον. ἐκεῖνο μὲν γὰρ προσβαλλούσης αὐτῷ τῆς μάστιγος, ὑπὸ τῶν ἀνέμων ἠχεῖ· νηνεμίας δὲ οὔσης, σιγᾷ. ταύτης δὲ τὴν γλῶτταν, οὐδεὶς καθεῖρξαι δύναται, οὐ χειμών, οὐ θέρος, οὐκ ἄνεμος, οὐ νηνεμία. Τί

δεῖ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ... Ε.ΥΑΔ τηςΚ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

δεῖ με ζῆν, ἄνθρωπον ὑπὲρ ἀλλοκότων εὐχῶν προσιόντα τοῖς θεοῖς; τῶν μὲν γὰρ ἄλλων ἕκαστος εἰς ἱερὰ φοιτῶν, ἀντὶ τῶν θυσιῶν ὑγιαίνειν αἰτεῖ. ἐγὼ δὲ ἆρα τί πείσαιμι λέγων, προσπεσὼν πρὸς τὰ ἀγάλματα; κωφότητος ἐδεόμην τυχεῖν, ὡς τούτῳ μόνῳ τῆς παρούσης ἀηδίας ἀπαλλαξόμενος. εἰ δὲ μὴ τοῦτο δοκοίη, κυψελίδα παχεῖαν γοῦν ἐν τοῖς ὠσὶν ἐντραφῆναι, τοῦ μὴ πάντ' ἀκριβῶς εἰσδύεσθαι τὰ ῥήματα. τῶν θεῶν δὲ οὐ δόντων τὴν χάριν, ἀλλά μοι σεσωσμένης, ὡς οὐκ ὄφελε, τῆς ἀκοῆς, λοιπόν ἐστιν εἰς ἀπαλλαγὴν, ἀποθανεῖν. Ἢ πῶς καὶ βιώσομαι, ποῦ ποιούμενος τὰς διατριβάς; ἐπ' ἀγορᾶς; ἀλλ' οἱ τῶν ὠνίων πρατῆρες ἐπαινοῦντες ἃ πωλοῦσι, καὶ βοῶντες ὑπὲρ τοὺς κήρυκας, ὥσπερ οὐκ ἀρκούσης τῆς χρείας ἄγειν πρὸς αὐτοὺς τὸν ὠνησόμενον, ἐξελαύνουσιν ἐκεῖθεν μᾶλλον, ἢ εἰ τοῖς λίθοις ἔβαλλον. Ἀλλ' ἐν ἀγροῖς; εἶτ' κἀκεῖ τὰ λυποῦντα, βοὴ βατράχων, οὐκ οἶδ' ἀνθ' ὅτι, ὄνοι βρομώμενοι, βόες μυκώμενοι, αἶγες μηκάζουσαι, πρόβατα βληχώμενα. Ἀλλ' ἐν τοῖς δικαστηρίοις; χείρους τῶν γεραιῶν οἱ ῥήτορες. Μίαν εἶχον καταφυγὴν, μίαν ἀποστροφὴν, ἕνα λιμένα, τὴν οἰκίαν. ἀλλὰ καὶ ταύτην ἐνέπλησέ μοι χειμῶνος ἡ γλῶττα τῆς γυναικός. καὶ τόπον ἔχοντα γαλήνην εὑρεῖν οὐκ ἔχω. τοῖς πολεμοῦσι μεμηχάνηταί τις ἀναψυχὴ, τὸ μεταξὺ σπείσασθαι τὰς ἐκεχειρίας. ἐμοὶ δὲ ἀνάπαυλα τῆς κακοπαθείας οὐδαμόθεν. καὶ γὰρ ὁσάκις ἐνόσησεν ἡ γυνὴ, τὰ μὲν ἄλλα, οἷς οὐκ ἀπωναίμην, νενόσηκεν, ὀφθαλμοὺς, χεῖρας, γαστέρα, πόδας. ἡ δὲ μιαρὰ φωνὴ, παντάπασιν ἄνοσος, κρείττων ὅλως ἢ καμεῖν. οὐ βράγχος τῇ φάρυγγι προσέπεσεν, οὐχ ἅλωσις τὴν γλῶτταν κατέλαβεν, οὐ ῥεύματος προσβολὴ τὴν σταφυλὴν ἐξώγκωσεν. οὐδὲν τῶν ἀφαιρουμένων τὸ λαλεῖν, ἐγκατέσκηψεν. Ὧι τοίνυν μήτ' ἔξω ζῆν ἔστι, μήτ' εἴσω, τίς λόγος; τίς λοιπὴ δίαιτα; οὐχ ἡ τοῦ Πλάτωνος;



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΙΩΝΟΣ
Ε.Υ. Δ.Ι.Π. Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

Σὺ γάρ, φησι, σαυτῷ αἴτιος τῶν δυσχερῶν, οὐ παιδεύσας τὸ γενναῖον πράττειν, ἀφ' ὧν σοι χαρίεται, οὐδὲ πρὸς τὸ σὸν ἦθος τὸν ἐκείνης κατασκευασάμενος τρόπον· ἐχρῆν δὲ διδάσκειν, παραινεῖν, νουθετεῖν. Καὶ τίς οὕτως ἀνόητος, ὡς μὴ τὸ πρόχειρον τοῦτο καὶ ἰδεῖν καὶ ποιῆσαι; μίαν γὰρ ἡμέραν οὐ διέλιπον, ὥραν, ἡμιώρειον. νόσημα τοῦτό ἐστιν, ἔλεγον, ὦ γύναι· γέλωτα παρέχεις τοῖς γείτοσιν. ἐν ὀνείδει μοι προφέρουσι τὴν σὴν φλυαρίαν. ἐλευθέρα, φής, εἶναι; μὴ τοίνυν πράττε τοῦ γένους ἀνάξια. μίμησαι τὸν ἐμὸν τρόπον· ἡσύχιον διώκω βίον· οὕτως ἀρεσκέτω καὶ σοί· ταῦτα λέγων, πέτρας ἔσπειρον. οὐ γὰρ κατέλυε τὸν νόμον, ἀλλ' ἀμειβομένη τὸν λόγον κατέσυρέ με τῷ ῥεύματι. Γνοὺς δὲ ὅτι δεῖ συμμάχων, προσκαλέσας τοὺς γνωρίμους εἰσήγαγον, ἐπαινοῦς σιγῆς μεμελετηκότας. Ἡ δὲ μετὰ τοὺς ἐν τοῖς ὅπλοις ἀριστεύοντας, μία πολλοὺς ἐξένικε, τῶν μὲν πολλῶν πλείω λέγουσα, τοῖς δὲ οὐδ' εἰπεῖν διδοῦσα, μόνη πάντας περιοῦσα. ἕως τὴν μὲν ἀποθαυμάσαντες, ἐμὲ δὲ οἰκτείραντες, αὐτοὶ δὲ ἀπειπόντες, ἔφυγον. Ἐνταῦθα ἐγὼ γνούς, ὅτι τῶν μὲν ζώντων καταφρονεῖ, ταῖς δὲ τῶν παλαιῶν συμβουλίαις τάχ' ἂν εἴξαι, σὺ δέ, εἶπον, εἰ μὴ ἐμέ, ἀλλὰ κἂν τὸν σοφώτατον ποιητὴν αἰσχύνθητι λέγοντα· γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. Ἡ δὲ εὐθύς, καὶ τίς οὗτος ὁ ποιητής; καὶ τίνος πατρός; καὶ ποίου δήμου; καὶ πότε ποιεῖν ἤρξατο; καὶ πῶς ἐτελεύτησε; καὶ τὴν ἡμέραν ἐνταῦθα κατέτριψεν ἡ γυνή, καὶ περιελίσατό μοι τοὐναντίον ὁ Ποιητής. αὐτὸ γὰρ τοῦ στῆσαι τὴν λαλιάν, ἀνῆπτεν. Ἀποπτύσας δ' οὖν ἐγώ, καὶ τὴν πλησμονὴν ἀποστραφείς, ᾠχόμην τρέχων. εἶθ' ὕστερον ἡμέραιν δυοῖν, αὖθις εἰς παραίνεσιν καθιστάμην. καὶ ἔλεγον, ὅτι οὕτως ἡμῖν, ὦ γύναι, πρέπει σιγᾶν. ὥσπερ καὶ τῶν τεττίγων, ὁ μὲν ἄρρην ᾄδει (βαρὺς μὲν καὶ οὗτος, ὅτι πέρα τοῦ μετρίου) θηλείας δὲ φθεγγομένης οὐκ ἂν ἀκούσαις.

Ἡ δ'

Ἡ δ' ἐπεισελθοῦσα τὴν τελευταίαν συλλαβὴν, οὗτοι, φησὶν, εἰσὶν οἱ βέλτιστοι τέττιγες, οἱ ἐξ ἀνθρώπων τέττιγες, οἱ φίλοι ταῖς μούσαις, οἷς τὸ λαλεῖν τοῦ ἐσθίειν ἥδιον· καὶ κυκλοῦσα τὸν περὶ τῶν τεττίγων μῦθον, εἰς ἑσπέραν αὐτὴν προὔβαινεν, ὥστε με ἀποπνιγόμενον τὰς μὲν συμβουλὰς ἐᾶσαι χαίρειν, ἔργῳ δὲ πειρᾶσθαι παιδεύειν τὴν ἄμαχον, καὶ τὰς κολοιὰς, καὶ ψάρας μικρὸν ἀποφαίνουσαν. Ἤδη τοίνυν καὶ ἐπῆγον αὐτῇ τὼ χεῖρε, καὶ πληγὰς ἠπείλουν. ὡς οὐκ ἐπαύετο, ἀλλ' ἐβόα, συστρέψας τὸ ἡμιτύβιον, ἔβυσα τὸ στόμα. ὡς δὲ ἀνῆκά ποτε, δοκῶν αὐτὴν ἐπανορθῶσθαι, πῦρ ἐπὶ πῦρ ᾐσθόμην, τοῦτο δὴ τὸ σοφὸν ἐξευρηκώς. ὥσπερ γὰρ οἱ τὰς κρήνας ἐπισχόντες, εἶτα ἀφελόντες τὸ κωλῦον, σφοδροτέραν εἰργάσαντο τὴν φορὰν, οὕτως ἐγὼ μικρὸν ἀνασειλας τὴν φωνὴν, μεῖζον ἐπεσπασάμην τὸ ῥεῖθρον. ὡς μικροῦ τὴν οἰκίαν διέστησε βοῶσα, καὶ τῇ πυκνότητι τῶν ῥημάτων, τὰς νιφάδας συγκρύπτουσα. Ὡς οὖν πάντα, δι' ὧν πείσειν τε ᾤμην καὶ καταναγκάσειν πεποιηκὼς, βέλτιον μὲν οὐκ ἀπέφηνα τὸ πρᾶγμα, χαλεπώτερον δὲ πολλῷ, τίς γένωμαι; ποῖ καταφύγω; τίνα λύσιν εὕρω τῆς συμφορᾶς; Ἀλλ' ἐρεῖ τις τῶν πολιτῶν· ἔκβαλε τὸ γύναιον. οὐ γὰρ ἔτ' ἥδιον ἀκούσῃ φθεγγομένης. Σοφός γε τῆς ἀπαλλαγῆς ὁ τρόπος, καὶ φρενὸς ὀξυτέρας, καὶ πολλοὺς λανθάνων. ἄνθρωπε, σπουδάζων, ἢ παίζων τοῦτο λέγεις; εἰ μὲν γὰρ ἐρεσχελῶν, οὐ παιδιᾶς ὁ καιρὸς ἐν θανάτου λόγοις. εἰ δ' ἀπὸ σπουδῆς, ἴσθι τοῦ προσήκοντος ἁμαρτάνων. Σκοπῶμεν δὲ ὡδί. νῦν ἐγὼ γνώμῃ τῆς βουλῆς ἀποθανεῖν ἀξιῶ. ἡ γυνὴ δὲ οἴκοι λαλεῖ πρὸς αὐτὴν, ἢ τοὺς τοίχους, ἢ τὸν ἀέρα, ἢ πρὸς ὁντιναοῦν. τοῦτο δὲ οὐδὲν ἐμοὶ τῷ γε ἀπιόντι δεινόν. οὐδὲ γὰρ παρέστηκεν, οὐδὲ ὁρᾶται, οὐδὲ κέκραγεν, οὐδὲ φθέγγεται. οὐ γὰρ νόμος τοῖς περὶ τοῦ θανάτου λόγοις ἐκείνην παρεῖναι· εἰ δὲ δικαστήριον ταῦτ' ἦν,

καὶ τῆς γυναικὸς ἐκβολὴ, καὶ διδάσκειν ἔδει τοὺς καθημένους ὡς ἀδικοῦμαι, κοινὸν ἂν ἦν ἐμοῦ κἀκείνης τὸ δικαστήριον. ἔχουσα δὲ πάροδον εἰς τὸ γρύζειν, παρώσασα ἂν, εὖ ἴστε, τοὺς συνηγόρους, καὶ τὴν ἐκείνων τάξιν ἁρπάσασα, καὶ τοὐμὸν ὕδωρ αὐτῆς ποιησαμένη, τοσαῦτα ἂν διῆλθεν ἀπνευστὶ, συνείρουσα, καὶ καταχέουσα πολὺν καὶ ἀθρόον τὸν λῆρον, ὥστε με ἀπόλλυσθαι, καὶ μόλις ἂν ἔμπνουν ἐντεῦθεν ἀποκομίζεσθαι. Ἓν μὲν οὖν τοῦτο τοσοῦτον, καὶ τηλικοῦτον διαφεύγω κακὸν, οὕτως ἀλλ' οὐκ ἐκείνως ὑπὲρ ἐμαυτοῦ βεβουλευμένος. ἕτερον δὲ ἀκούσατε· εἰ γὰρ δὴ ψήφῳ καὶ δικαστηρίῳ διαστῆναί μοι τῆς γυναικὸς ὑπῆρξεν, οὐκ ἂν εὐτύχημα μᾶλλον ἦν, ἢ ἀτύχημα τὸ πραχθέν. Πῶς γὰρ ἠνέγκα τοὺς οἰκείους τῆς γυναικὸς, ἐγκαλοῦντας, ἐπιτιμῶντας, ἄλλους ἐπ' ἄλλοις αἰτιωμένους, τὸν μὲν ἔνθεν βοῶντα, τὸν δὲ ἔνθεν καὶ ἔνθεν κεκραγότα· περιϊσαμένους, κυκλουμένους, διαβάλλοντάς μου τὴν ἡσυχίαν, ἀπρόσιτον καλοῦντας, ἀγέλαστον ὀνομάζοντας, ἰδιογνώμονά μου τὸν βίον προσαγορεύοντας; Ἃ δὲ ἐποίησεν ἂν ἡ γυνὴ, τίς οὕτω σιδηροῦς, τίς οὕτως ἀδαμάντινος, ὅς τις ἂν ὑπέμεινεν; Ἠκολούθησεν ἂν ἐκ τοῦ δικαστηρίου λαβομένη θοιματίου, ἕλκουσα, ἐπιστρέφουσα, λέγουσα, θεοὺς ἐφεξῆς ὀνόμασι μαρτυρουμένη, τοὺς ἥρωας καὶ τούτους ὀνόμασι, τὰ ἄστρα, τοὺς ἀνέμους, τοὺς κίονας, τοὺς θεμελίους. ἐμβαλοῦσα δὲ εἰς τὸν στενωπὸν, ἀνεβόησεν ἂν διωλύγιον, τοὺς γείτονας εἰς κραυγὴν διεγείρουσα· ἔπειτα προσκαθημένη ταῖς θύραις, ἐπολιόρκησεν ἄν με διὰ πάσης ἀκριβείας, προελθεῖν οὐκ ἐῶσα, μένοντος εἴσω καταβοῶσα. Ἐαρινήν γε ἡμέραν διήγαγον ἂν ἕνεκα τῆς ἐκβολῆς, συνεχῶς ἀκούων, ἡ θύρα ψοφεῖ, παίει δέ τις οἰκεῖος τῆς γυναικός. πτερῶν, ὡς ἔοικεν, ἐδεήσεν ἄν μοι παραττομένῳ καὶ λόγους ἀπαιτουμένῳ περὶ τῶν πεπραγμένων. Ἵνα δὴ μὴ ταῦτα γένοιτο, ἀποθνήσκω, καλείτω δὲ ἡ γυνὴ, καὶ τῶν ἄλλων ὅς τις ἐθέλει, δύσκολον.

λον. Δότε δή, δότε τὴν χάριν, ὦ Βουλή. πέμψατέ με ταχέως εἰς τὴν τελείαν ἡσυχίαν, ἀναμίξατέ με τοῖς ἀπελθοῦσι, τοῖς μακαρίοις, τοῖς ἀναισθήτοις. πῶς γὰρ οὐκ εὐδαίμων, ὅταν ὁ μὲν ἐπὶ κλίνης φέρηται, κόπτωνται δὲ αἱ γυναῖκες, οἱ δὲ προσήκοντες ὀλοφύρωνται, ὁ δὲ τούτων ἀκούῃ μηδέν; εἰ γὰρ τὸ καθεύδειν ἀκριβῶς τῶν ἐν τῷ ζῆν ἀγαθῶν μέγιστον, πῶς οὐ πολλῷ τιμιώτερον, ὃ μείζω φέρει τὴν ἀναισθησίαν; Εὐτρεπιζέτω τις ἤδη τὸ φάρμακον, ἑτοιμαζέτω τὴν καλὴν φιλοτησίαν. ἀλλ᾽ ἐκεῖνό μοι προϋπαρξάτω. σιγηλὸς ὁ τὸ κώνειον ὀρέγων ἔστω, μηδέν τι ἐπ᾽ αὐτῷ λαλῶν, μὴ διαλεγόμενος περὶ τῆς φύσεως τοῦ φαρμάκου. ἔστω καθαρὸν θορύβου καὶ ὄχλου τὸ δῶρον. Κἀκεῖνό μοι πρὸς θεῶν μετὰ τοῦ θανάτου ψηφίσασθε, μὴ παρεῖναι τὴν γυναῖκα πίνοντι, μηδὲ δι᾽ ἣν εἱλόμην ἀποθνήσκειν, ταύτῃ θρηνεῖν ἐξεῖναι τὴν ἐμὴν τελευτήν. οὐδὲ γὰρ θρηνήσει νόμῳ γυναικῶν, οὐδὲ πενθήσει δάκρυσιν, ἀλλὰ λαλήσει, καὶ ῥητορεύσει, καὶ κόψει, καὶ καταστήσει μοι τὴν εἰς θάνατον εἴσοδον ἀλγεινήν. Ἀπέστω δὲ τῆς πόσεως, ἀπέστω, ζητείτω λίθινον ἄνδρα, δυνάμενον ἐνεγκεῖν τὴν ἀηδίαν. ἐγὼ δὲ ἐν τῇ γῇ κείσομαι, πάσης φωνῆς ἀνήκοος. Ἡδὺ μέν, ὦ Βουλή, τῆς ἀκτῖνος ἀπολαύειν τε καὶ τρυφᾶν. ἀποστερεῖ δέ με τούτων ἡ γυνή, τοῦτο μὲν οἷς ποιεῖ, τοῦτο δέ, οἷς δράσει. λογίζομαι γὰρ τίς ἔσται τὴν γλῶτταν, ἐπίτεξ γινομένη, τίς ὠδίνουσα, τίς τεκοῦσα. εἰ δὲ καὶ πολλά μοι τέκοι, καὶ ταῦτα αὐτῇ παραπλήσια, καὶ δεικνύῃ ἧς ἐστι, πῶς βιώσομαι, μέσος εἰλημμένος τοιούτου χοροῦ; διοίσει γὰρ οὐδέν μοι τὸ οἰκίδιον τῶν λειμώνων, ἐν οἷς τὰ ἔθνη τῶν ὀρνίθων μετὰ κλαγγῆς περιίπτανται. Ἰδοὺ πόσην βέβλαμμαι βλάβην. πολλὰ λαλῶ. τῆς γυναικὸς ἀπολέλαυκα· μακρὸν ἀποτέτακα λόγον. ἀλλ᾽ οὗτος ἔσται τελευταῖος. οὐ γὰρ ἔτ᾽ οὔτ᾽ ἐγώ τινος ἀκούσομαι, οὔτ᾽ ἄλλος ἐμοῦ. Ὦ βελτίστης ἡμέρας. ὦ φερούσης ἐλευθερίαν. ἄπειμι περὶ τῆς

κοί-

κάτω, παρὰ τοὺς οὐ λαλοῦντας, καταλήψομαι χῶρον ἡσυχίας γέμοντα. Ἀλλὰ καὶ ἐξαίφνης ἐνόησα λόγον τινὰ περιφερόμενον, ᾧ ταράττομαι. λέγουσι κἀκεῖ θορύβους εἶναι, καὶ πράγματα, καὶ δικαστὰς, καὶ δίκας τῶν οἰχομένων, καὶ βοιῶν μικρῶν, καὶ διαλόγους. δέδοικα δὴ, δέδοικα, μὴ φυγὼν ἐντεῦθεν τὴν γυναῖκα, μικρὸν ὕστερον αὐτῇ περιτύχοιμι κάτω, καὶ δέοι πάλιν ἀκούειν λαλούσης. Ἀλλ' ἐκεῖνα μὲν εἰκάζεται, τὰ παρόντα δὲ γινώσκεται. πρὸ οὖν τῶν φανερῶν αἱροῦμαι τὸ ἄδηλον. ἀσφαλείας δ' οὖν οὕνεκα βέλτιον εὔξασθαι. Ὦ Θεοὶ πάντες καὶ πᾶσαι, εἰ λόγου μέτεστι τοῖς ἀπελθοῦσι, δοίητε τῇ γυναικὶ πρὸς ἔσχατον γῆρας ἐλθεῖν, ὥστε με τυχεῖν ὂν ᾅδου πλείονος ἀναπαύσεως. Αἴτιος δὲ ἴσως ἐγὼ τῶν κακῶν ἐμαυτῷ. ἐχρῆν γάρ με λαβόντα μάχαιραν, τὸ θρυλλούμενον ἐκεῖνο δρᾶσαι, τὴν γλῶτταν ἐκκόψαι. τάχα τοι κἀκεῖνος γυναῖκα λάλον οὐκ ἤνεγκεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006